ePublishing
ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
NATIONAL DOCUMENTATION CENTRE

**Μακεδονικά**

Τόμ. 10, Αρ. 1 (1970)




## Ανέκδοτον εγκώμιον εις τον Όσιο Δαβίδ

*Βασ. Λαούρδας*

doi: 10.12681/makedonika.769

Copyright © 2014, Βασ. Λαούρδας

Άδεια χρήσης Creative Commons Attribution-NonCommercial-ShareAlike 4.0.

**Βιβλιογραφική αναφορά:**

Λαούρδας Β. (2015). Ανέκδοτον εγκώμιον εις τον Όσιο Δαβίδ. *Μακεδονικά*, *10*(1), 243–256. https://doi.org/10.12681/makedonika.769

# ΑΝΕΚΔΟΤΟΝ ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΔΑΒΙΔ

Τὴν ἀνάγκην νέας ἐκδόσεως τοῦ βίου τοῦ ὁσίου Δαβὶδ ἐπὶ τῇ βάσει ὅλης τῆς χειρογράφου παραδόσεως καὶ τῆς ἐν συνδυασμῷ πρὸς αὐτὴν ἐπανεξετάσεως τῶν μὲ τὸ θέμα αὐτὸ σχετιζομένων ζητημάτων ἐπεσήμαναν ἤδη ὁ Raymond J. Loenertz[1] καὶ ὁ Paul Lemerle εἰς δύο σχεδὸν ταυτοχρόνως δημοσιευθείσας μελέτας των[2]. Ὁ βίος τοῦ ὁσίου Δαβὶδ εἶναι μέχρι τοῦδε γνωστὸς ἀπὸ τὴν παλαιὰν ἔκδοσιν τοῦ V. Rose[3], γενομένην ἐξ ἀτελοῦς χειρογράφου μὴ σωζομένου πλέον[4], εἰς τὸ κείμενον τοῦ ὁποίου ὁ ἐκδότης ἐπέφερε διαφόρους ἀδικαιολογήτους διορθώσεις.

Ἀσχολούμενος μὲ τὴν νέαν αὐτὴν ἔκδοσιν καὶ τὴν ἐξέτασιν τῶν ἐξ αὐτῆς δημιουργουμένων ζητημάτων, ἐθεώρησα σκόπιμον νὰ ἀρχίσω μὲ τὴν προκαταρκτικὴν δημοσίευσιν ἀνεκδότου ἐγκωμίου εἰς τὸν ὅσιον Δαβὶδ ὑπὸ ἀγνώστου συγγραφέως, τὸ κείμενον τοῦ ὁποίου διεσώθη εἰς δύο κώδικας τῆς μονῆς Διονυσίου τοῦ Ἁγίου Ὄρους. Τὴν ὕπαρξιν τοῦ ἐγκωμίου αὐτοῦ εἶχεν ἤδη ἐπισημάνει ὁ Loenertz[5]. Εἰς τὴν ἔκδοσιν τοῦ κειμένου ἐνταῦθα ἐπισυνάπτω μερικὰς παρατηρήσεις, προτιθέμενος νὰ ἐπανέλθω εὐρύτερον κατὰ τὴν ἔκδοσιν τοῦ βίου ἐπὶ τῇ βάσει ὅλης τῆς σωζομένης χειρογράφου παραδόσεως. Ἐκ τῶν δύο κωδίκων τῆς μονῆς Διονυσίου, οἱ ὁποῖοι διασώζουν τὸ κείμενον τοῦ ἐγκωμίου, ὁ μὲν εἷς (52, ἐνταῦθα B) εἶναι τοῦ δεκάτου τρίτου, ὁ δὲ ἄλλος (145, ἐνταῦθα A) τοῦ δεκάτου ἑβδόμου αἰῶνος[6]. Ὁ πρῶτος ἐξ αὐτῶν, ἐκ περγαμηνῆς, περιέχει 18 βίους καὶ ἐγκώμια ἁγίων καὶ μαρτύρων κατ' ἐπιλογήν, ὁ δὲ δεύτερος, ἐκ χάρτου, περιέχει 45 ὁμοίως βίους καὶ ἐγ-

---

1. Saint David de Thessalonique. Sa vie, son cult, ses reliques, ses images, «Revue des études byzantines», τ. II (1953), σ. 205-223.

2. Invasions et migrations dans les Balkans, «Revue Historique», τ. 211 (1954), σ. 269, σημ. 1.

3. Leben des heiligen David von Thessalonike, Berlin 1887.

4. Πρόκειται περὶ τοῦ κώδικος Beroliniensis Graecus 57, ὁ ὁποῖος, ὡς μὲ ἐπληροφόρησεν διὰ τῆς ἀπὸ 13. 2. 1970 ἐπιστολῆς του ὁ κ. J. Irmscher, «Gehört zu den infolge der Verlagerung während des letzten Krieges verlorengegangenen Handschriften».

5. Ἔ.ἀ., σ. 213, ἐκ τοῦ A. Ehrhard, Überlieferung und Bestand der hagiographischen und homiletischen Literatur der griechischen Kirche von den Anfängen bis zum Ende des 16. Jahrhunderts (Leipzig, 1937-1943) III, σ. 48 σημ. 1 καὶ 55.

6. Περιγραφὴ εἰς Spyr. P. Lambros, Catalogue of the Greek Manuscripts on Mount Athos I (1895), σ. 322-323 διὰ τὸν κώδικα 52 καὶ 344 διὰ τὸν κώδικα 145.

κώμια ἁγίων καὶ μαρτύρων κατ᾽ ἐπιλογήν, ἔχει γραφῇ δὲ ὑπὸ τριῶν χειρῶν, ἐξ ὧν ἡ δευτέρα, ἡ τοῦ Ἰγνατίου, κατέγραψε τὰ τελευταῖα 15, ἐν οἷς καὶ τὸ ἐγκώμιον τοῦ ὁσίου Δαβίδ.

Ὁ κῶδιξ B περιέχει ἀρκετὰ ὀρθογραφικὰ σφάλματα καί τινας μικρὰς παραλείψεις, ἀποδεικνυούσας ὅτι ὁ A ἐγράφη ἐπὶ τῇ βάσει ἄλλου προτύπου. Εἰς τὴν ἐνταῦθα ἔκδοσιν ὡς βάσις ἐτέθη ὁ κῶδιξ A, εἰς δὲ τὸ κριτικὸν ὑπόμνημα καταχωροῦνται αἱ διάφοροι γραφαὶ τοῦ B, παραλειπομένων ὅμως τῶν ὀρθογραφικῶν σφαλμάτων του.

## Ἐγκώμιον εἰς τὸν ὅσιον πατέρα ἡμῶν Δαβίδ, τὸν ἐν Θεσσαλονίκῃ.

1. Δαβὶδ δὲ ὁ ὁσιώτατος, τοῦτο γὰρ ὄνομα τῷ εἰς ὑπόθεσιν προκειμένῳ τῷ λόγῳ, οἷά τις τῶν ἄλλων κλῆρος ἐξαίρετος ἐκ Θεσσαλονίκης καὶ ἐν Θεσ- B250v σαλονίκῃ καὶ γενόμενος καὶ ἐξαισίοις διηγωνισμένος τῆς ἀσκητικῆς | παλαίστρας ἄθλοις τε καὶ ἱδρῶσιν, οὐρανὸν μὲν τοῦ πνεύματος, ταύτην δὲ τῶν τιμίων αὐτοῦ λειψάνων μέχρι καὶ τήμερον οἰκητήριον εὕρατο. Πρέπον δ᾽ ἂν A353v εἴη μικρὸν τὸν λόγον ἀναγαγεῖν | ὡς ἐν κεφαλαίῳ, ὡς ἂν εὐσύνοπτά τε τοῦ κατ᾽ αὐτὸν χρόνου καὶ ἡ ὑπερφυὴς αὐτοῦ πολιτεία τοῖς ἀκροωμένοις γενήσεται.

2. Χρόνος ἦν τῆς τοῦ ὁσίου μετὰ τῶν λοιπῶν ἀνθρώπων συμβιωτεύσεως καθ᾽ ὃν τὰ τῆς χριστιανῶν ῥωμαϊκῆς ἀρχῆς σκῆπτρα νεύματι θείῳ Ἰουστινιανὸς ἐνεχειρίζετο· καθ᾽ ὃν δὴ χρόνον ὁ ὅσιος πολλὴν ἐμφαίνων ἐν ἑαυτῷ καὶ πρὸ τῆς ἀσκητικῆς ἀγωνίας καὶ τελειότητος τὴν περιουσίαν τῆς ἀρετῆς, ἦθος τε ἅπαν ἐκόσμει δι᾽ εὐταξίας, λόγον τε πάντα ῥυθμίζων ταῖς συμμετρίαις, ἤθει τε καὶ λόγῳ τῆς ἀρετῆς ἐργάτης ἀξιόπιστος ἐγνωρίζετο. Εἶχε μὲν γὰρ τῶν πρὸ αὐτοῦ πολλοὺς καὶ ἄλλους παραδεικνύντας, ὡς θέμις, τὸν χαρακτῆρα τῆς ἐνθεεστέρας ζωῆς καὶ ὡς αὐτὴν ἱκανῶς παραθήγοντας, πολλῷ δὲ μᾶλλον τὸν συνώνυμον αὐτῷ καὶ ὁμότροπον. Προσῆν γὰρ αὐτῷ κατ᾽ ἐκεῖνον τὸ τῆς πραότητος ἀγαθὸν τοσοῦτον, ὡς ἐξὸν εἰκάζειν ἐκεῖνον ἐν τούτῳ κατοπτριζόμενον ἢ ἐν ἐκείνῳ τοῦτον ἐντυποῦσθαι καὶ ἀκρι- B251 βῶς | διαγράφεσθαι, ὥστ᾽ εἰ καί τινες καὶ περὶ αὐτοῦ τὸν θεὸν οἰηθεῖεν εἰπεῖν, ὡς εὗρον ἄρα τοῦτον τὸν νέον Δαβίδ, ἄνδρα κατὰ τὴν καρδίαν μου, οὐκ ἐκτοπόν τι φαῖεν ἄν, ἀλλὰ καὶ λίαν ἁρμόδιον. Ὅρα γάρ, εἰ μὴ κατ᾽ ἐκεῖνον καὶ οὗτος ἠνδρίσατο καὶ ἄσπονδον τὴν κατὰ τῶν ἀοράτων ἐχθρῶν ἐπεδείξατο μάχην, ὡς ἐκεῖνος κατὰ τοὺς ὁρατούς. Σκόπει δὲ μετὰ τὴν συμβολὴν

---

Titulus in B: βίος ἐν ἐπιτόμῳ ἤτοι ἐγκώμιον εἰς τὸν ὅσιον πατέρα ἡμῶν τὸν ἐν Θεσσαλονίκῃ 2 τῷ supra lineam B 5 εὕρετο B 9 ἐμβιωτεύσεως B 17 πρὸς ἣν B 18 ἐξὼν B

τοῦ πολέμου καὶ τὴν ἀνὰ κράτος αὐτοῦ μὲν νίκην, τῶν δὲ πολεμίων ἧτταν,
εἴ τι μεθήσειν αὐτῷ δόξαιτο τῶν βελτίστων, ὡς ἐνδέον ἐκείνου καθοτιοῦν |
ἐναποφανθῆναι, εἰ μὴ καὶ κρεῖττον εἰπεῖν ἐθελῆσαι γενέσθαι καὶ πολλῷ τῷ A354
τάχει καὶ τοῦτον παραδραμεῖν ἀγωνίσασθαι.

3. Δεχέσθω τοιγαροῦν ὁ ἀμφισβητῶν τὰς ἀποδείξεις, ἑκάστῳ τῶν κατὰ τά-
ξιν συντιθεμένων τῷ λόγῳ τὴν διάνοιαν ἐνιεὶς καὶ δι᾽ ἑαυτοῦ συλλογιζόμενος
τὴν ἀλήθειαν· οὐ γὰρ ἀνασχόμενος τὸν ἁγιασμὸν τοῦ σώματος προέσθαι
καὶ τὴν γαμικὴν ἀνταλλάξασθαι συγγνώμην ἐκείνου, τὸ πρώτιστον ἐπαγό-
μενος τῆς παρθενίας καλὸν καὶ ὅπως ἂν αὐτὸ σῶον καὶ ἄφθορον διατηρη-
θείη διανοούμενός τε καὶ περὶ πολλοῦ προμηθούμενος, τῇ μονῇ προσφοιτᾷ
τῶν ἁγίων μαρτύρων | Μερκουρίου καὶ Θεοδώρου. Πολλὰ γὰρ εὐαγῆ σε- B251v
μνεῖα καθάπερ ἰατρεῖα ἀλλαχόθεν ἄλλα καὶ πανταχόθι τῆς Θεσσαλονίκης
διείληφεν εἰς ἀνάληψιν ἐπειγόμενος τοῦ μοναδικοῦ τε καὶ ἀσκητικοῦ ἐπαγ-
γέλματος. Ἀμφιέννυται τοίνυν πολλῷ μὲν πρότερον ὅλῃ τῇ ψυχῇ τὴν χάριν
τοῦ πνεύματος, τηνικαῦτα δὲ τέως τὴν ἀγγελικήν τε καὶ ἀσκητικὴν ἀμπε-
χόνην. Ἐπεὶ δὲ καθώπλιστο καὶ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἀνέδην
ἀντεπαρετάξατο, συγγενῆ καὶ οἰκείαν διὰ τῆς ὀλιγοσιτίας ἢ μᾶλλον ἀσαρ-
κίας εἰπεῖν τὴν συμπλοκὴν ἑκάστοτε παρεσκεύαζε τοῦ πολέμου τοῖς ἀσάρ-
κοις τε καὶ ἀναίμοσιν ἀσάρκως τε καὶ ἀναίμως εὐμεθόδως τὴν ὑπαντήασιν
περινοούμενος. Εἰ γὰρ οἱ ἀντίπαλοι ἡμῶν οὐ μόνον, κατὰ τὸν θειότατον
Παῦλον, ἄσαρκοί τε καὶ ἄναιμοι, ἀλλὰ καὶ κατά τι ῥητὸν τῆς ἐκτὸς ποιή-
σεως ἐπὶ λέξεως ἐχούσης, "οὐ γὰρ σίτον ἔδουσιν, οὐ πίνουσιν αἴθοπα οἶνον
τοὔνεκ᾽ ἀναίμονές | εἰσι καὶ ἀθάνατοι καλέονται," πάντως ὁ μὴ οἰκείως αὐ- A354v
τοῖς συμπλεκόμενος ἀλλ᾽ εἴτε ἐναντίως ἢ ἀλλοτρίως, οὐκ ἂν ποτε εὐχερῶς
ἢ ῥαδίως δυνηθείη | περιγένεσθαι αὐτῶν, πολὺ γὰρ ἔστιν εἰπεῖν ἐκνικῆσαι B252
τούτους, διὰ τῆς κατασαρκώσεως ἀνηνύτοις ἐπιχειρῶν. Ἔνθεν τοι τῇ νηστείᾳ
συνεζεύγνυ ἀγρυπνίαν, εἰδὼς ἀλληλόχρεων οὖσαν θατέραν τῇ ἑτέρᾳ καὶ κοινῇ
λυσιτελοῦσαν τὴν παρ᾽ ἑκατέρας ὠφέλειαν. ὅ τε γὰρ νηστεύων δεῖται τοῦ
ἀγρυπνεῖν οὐ μόνον εἰς τὸ διακαρτερεῖν ἐν προσευχῇ καὶ δεήσει, ἀλλὰ καὶ
αὐτῷ τῷ νηστεύειν ἐγκαρτερεῖν· ὕλη γὰρ ὕπνου τροφὴ καὶ εἰ τοῦτο δῆλον,
ὡς τὸ ἀγρυπνεῖν ἀναγκαίως ἕπεται τῷ νηστεύειν, τοῦ τε ἀγρυπνεῖν ἀναγ-
καιοτέρως τὸ νηστεύειν ἡγήσεται διὸ καὶ ἐπίσης κατηγορούμενον εἰκότως
καὶ ἀντιστρέφει ὑπεξαιρουμένων τῶν ἐκ περιστάσεως· ὁ γὰρ νηστεύων καὶ
ἀγρυπνεῖ καὶ ὁ ἀγρυπνῶν νηστεύει· τοῦτο κατὰ τὸ ποιητικόν τε καὶ ὑλικὸν
αἴτιον, κατὰ δὲ τελικὴν αἰτιολογίαν οὕτως διὰ τὸ νηστεύειν τὸ ἀγρυπνεῖν

22-23 Ilias E, 341-342.

1 κράτως B 2 δόξετω B 10 πολλῶν B 12 τὴν Θεσσαλονικέων B 17 ἢ μᾶλλον ἀσαρκίας: ἤτοι ἀσαρκίαν B 19 εὐμέθοδον B 25 περιγενέσθαι: καταγωνίσασθαι B πολὺ - αὐτοὺς om. A 26 τοι om. B 27 καὶ ἀγρυπνίαν B 29 αὐτὸ codd. 34 τό: τὸν B

καὶ διὰ τὸ ἀγρυπνεῖν τὸ νηστεύειν· ἀλλ' ἵνα μὴ περιττολογεῖν τοῖς ἀπειροκάλοις δόξωμεν τὰ τοιοῦτα διευκρινοῦντες, ἐπανιτέον πρὸς τὴν ὑπόθεσιν.

4. Ἐπειδὴ τοίνυν πρὸς τὴν ἐπιθυμίαν ἀνδρικῶς ἔστη καὶ ἀφόρητος ἔπνευσε κατ' αὐτῆς τῷ λογιστικῷ καταστήσας ταύτῃ καὶ τὸν θυμὸν ἀκο- B252v λούθως συνεξε|κέντησεν ὅλον ἑαυτὸν ἀδούλωτον τῷ κρείττονι καὶ ἡγεμονικῷ ἀποκαταστήσας καὶ εὔχρηστον εἰς δουλείαν τὸ ἄλογον τῆς ψυχῆς μέρος σωφρόνως τῷ λογιστικῷ καθυποταξάμενος· καὶ ἵνα μὴ μακρότερον τὸν λόγον ποιῶμεν ἀναλεγόμενοι κατ' εἶδος τὰς ἐν πολλοῖς ἐκμεμελετημέ- A355 νας | ἀρετάς, οἷον ἐγκράτειαν, χαμευνίαν, πάννυχον στάσιν καὶ ψαλμῳδίαν, διακονίαν, φιλαδελφίαν, ἀκτησίαν, ἀμνησικακίαν, ἀπροσπάθειαν, ταπείνωσιν, ἀγάπην ἀνυπόκριτον, ἃς οὕτως πάσας εἰς ἄκρον ἀπηκριβώσατο, ὡς οὐδεμίαν ἁπλῶς ἕτερος, οὕτω δὴ καθ' ἑκάστην τὸ εὐδόκιμον ἐπεδείξατο, ὡς οὐδ' ἐν πάσαις οἱ πλείους· ὅμως ταύτας ἐάσαντες ὡς ἐκ περιουσίας προσούσας αὐτῷ, πρὸς ἓν αὐτοῦ πάλαισμα καὶ ἆθλον τῷ λόγῳ τρεψώμεθα.

5. Τὸ σεμνεῖον ἐν ᾧπερ ἀσκητικῶς διήθλει ὁ ὅσιος θέσιν μὲν ἔλαχε τὴν ἀνωτέραν καὶ ἀρκτικωτέραν τῆς πόλεως γειτονοῦν ἑτέρῳ σεμνείῳ προσηγορίαν φέροντι τὸ Ἀπρόϊτον. Τοῦ κατ' αὐτὸν οὖν κοινοβίου τοῦ καθηγουμένου τὸν βίον μεταλλάξαντος καὶ πρὸς τὴν ἀγείρω μεταθεμένου ζωὴν βιάζεται τὴν τῶν ἀδελφῶν ἐπιστασίαν ὁ ὅσιος, καίτοι γε μὴ βουλόμενος, B253 ἀναδέξασθαι, καὶ ἐπεί | περ ἄξιος ἦν ἔργου εἴχετο καὶ τῶν λογικῶν Χριστοῦ θρεμμάτων ἔργῳ καὶ λόγῳ ποιμὴν ἀπαράγραφος καὶ ἀληθέστατος ἀπεδείκνυτο. Ὡς οὖν τὰ ὅσον ἀνθρωπίνῃ δυνάμει κατορθωθῆναι λόγον ἔχοντα, πάντα κατὰ νοῦν αὐτῷ ἐκβεβηκότα καὶ προκεχωρηκότα καὶ μηδαμῶς ἐνδεόντα καθοτιοῦν ἑωρακώς, πράγματος ἀπόπειραν ἐπινοεῖται παγχάλεπον καὶ ὑπὲρ ἄνθρωπον, ἅμα μὲν καὶ τὸν ἀσκητικὸν αὐτοῦ τόνον ἀκμαιότερον ἐντεῦθεν ἀπογυμνάζων, ἅμα δὲ καί τινος θείας ἢ ἀγγελικῆς ὀπτασίας ἀξιωθῆναι καθιμειρόμενος εἴς τινων ἐνδοιαζομένων παρ' ἑαυτῷ σαφεστέραν καὶ ἀναμφήριστον δήλωσιν.

A355v 6. Ἐν τῇ κατ' αὐτὸν οὖν εὐαγεστάτῃ μονῇ τῶν ῥηθέντων ἀθλοφόρων Μερκουρίου καὶ Θεοδώρου δύο κατὰ διέχειαν ἑκατέρωθεν ἀμφοτέροις εὐκτήρια ᾠκοδόμητο· μεταξὺ δῆτα τούτων δένδρον ἵστατο τὸ οἰκείως καὶ προσεχῶς κατὰ τὸ ἴδιον εἶδος ἀμυγδαλῆ προσαγορευόμενον. Ἐν τούτῳ τῷ δένδρῳ προὔθετο τῶν ὑπ' αὐτὸν ἠγνοηκότων ἁπάντων τὸν ἐκείνου σκοπόν,

10 ἀμνησι ταπείνωσιν omm. ἀπροσπάθειαν B 11 οὗτος A 14 σὺν τῷ λόγῳ B 18 τὸν βίον μεταταξαμένου καὶ πρὸς τὸν ἐκεῖθεν μεταθεμένου B 22 ὡς οὖν — 24 ἑωρακώς: ὡς οὖν ἤδει τὰ ὅσον ἐφικτὸν ἀνθρωπίνῃ δυνάμει κατορθωθῆναι λόγον ἔχοντα πάντα κατὰ νοῦν αὐτῷ βεβικῶτα τε καὶ προχωρήσαντα καὶ μηδαμῶς ἐνδέοντα καθοτιοῦν B 27 καθιμειρόμενος : τοιουτοτρόπως καταμειρόμενος B παρ' om. B 29 γοῦν B 33 δένδρων B

ἀνελθεῖν καὶ τριετίαν ὅλην διακαρτερῆσαι ψύχει καὶ θάλπει καὶ τῇ μήτε πεπηγυίᾳ στάσει, μήτε καθέδρᾳ διηνεκῶς | B253v μαχησόμενος καὶ μὴ πρότερον κατελθεῖν ἐκεῖθεν, εἴ τι καὶ γένοιτο πείθων ἑαυτὸν πρὶν ἢ τὸν τριετῆ χρόνον περαιωθῆναι. Ἀμέλει τοι καὶ ἀνέρχεται καὶ τὸν ὑπερφυᾶ τοῦτον καὶ τοῖς πολλοῖς ἄπιστον ἐξανύσας ἆθλον, ἐφάμιλλον τὸ θαῦμα τῇ καρτερίᾳ παρέσχετο τοῖς μετέπειτα. Οἵας δὲ καὶ ἀμέτρου δυσκρασίας ὁ τόπος μετέχει καθ' ἣν ἔλαχε θέσιν, θέρους μὲν ἐκφλογούμενος, χειμῶνος δὲ λίαν ὑπερψυχούμενος ἀπό τε τῆς περιφερείας τῶν ὀρέων καὶ τῆς ὑπτιώσεως τῶν πεδίων, ταῖς βίαις τῶν ἀνέμων διαδονούμενος καὶ ἐκτεινασσόμενος, εἰδεῖεν δ' ἂν οἱ πείρᾳ κατειληφότες καὶ ἅμα τῷ λόγῳ τοὺς ἀγνώτας πείθοντες ἐπὶ πλέον αἵρεσθαι τὸ θαῦμα κατεπειγέσθωσαν. Πῶς οὖν, φησί, ἀντισχεῖν ἐπὶ τοσοῦτον ἠδυνήθη πρὸς τοιαῦτα δεινὰ καὶ οὐκ ἀντισχεῖν μόνον, ἀλλὰ καὶ ὑπερσχεῖν οἷός τε γέγονεν, ὁπότε καὶ πρὸς μίαν ἡμέραν ἢ ὥραν ὁ ἐνί γε τῶν ἐναντίων περιπεσὼν ἢ κρύους ἢ θάλψεως ἢ δυσηνεμίας ἢ νηνεμίας οἴκτιστον ἀπηνέγκατο μόρον; ὅτι χάριτι θείᾳ τὴν ἐκείνου | A356 προαίρεσιν ἀμειβομένη καὶ οὐ κατὰ λόγον φυσικῆς ἀκολουθίας τὸ τοιοῦτον ἐγίγνετο. Καὶ θέα μοι τὸν Μωυσῆν, | B254 τὸν Ἠλίαν καὶ τοὺς κατ' αὐτοὺς ἅπαντας μείζονα δυνηθέντας ὡς μεγάλα προῃρημένους· ἀλλ' οὐκ ἐπὶ πάντων ὁρᾶται φησὶ τὰ τοιαῦτα, οὐδ' ἐπὶ τῶν πλείστων ἢ ἐπὶ πολὺ τελούμενα καὶ διὰ τοῦτο καὶ ἄπιστα δοκεῖ τοῖς πολλοῖς· οὐκ ἐπὶ πάντων μέν, οὐδ' ἐπὶ τῶν πλείστων· ὅτι οὐδὲ τὸ μεγάλα πονεῖν προῃρεῖσθαι τῶν πάντων ἢ τῶν πλειόνων· εἰ δὲ καὶ διὰ τοῦτο ἄπιστα, πάντα σοι λοιπὸν οἰχήσεται τὰ θαυμαστὰ καὶ ὑπερφυῆ δράματά τε καὶ διηγήματα καὶ ὡς μηδαμῶς σοι καθυπήκοντα· διὰ τοῦτο καὶ σιωπᾶσθαι ἢ ἀπιστεῖν τυχὸν καὶ ἄξια. Πλὴν ἀλλὰ σιωπητέον τὰ παρὰ τῶν τοιούτων.

7. Ἆρα δὲ τὸν τοσοῦτον καὶ τηλικοῦτον ἀγῶνα καὶ ἆθλον ἀμισθὶ καὶ δίχα τινὸς ἐπάθλου κατὰ τὸ προσεχῶς ὀφειλόμενον ἐκτετέλεκεν, ὡς οὐδὲν ἀπώνασθαι τῆς τοιαύτης ταλαιπωρίας; οὐδαμῶς, ἀλλὰ τὸ τῆς τριετίας πέρας ἄγγελος διαδέχεται ταινιῶν τε αὐτὸν ὑπὲρ τῆς ἀγωνίας δηλῶν τε αὐτῷ καὶ ἐκφαίνων ἅπερ ἐνδοιάζων ἀνέλιττε καθ' ἑαυτόν· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καί τινα τῶν μελλόντων προϋπεμφήνας καὶ τὸν τόπον ἐν ᾧ τὸ λοιπὸν κελλίῳ καθειργμένος βιώσεται διασημηνάμενος καὶ θαύ|B254v ματος χάριν καὶ προφητείας δύναμιν θεόθεν αὐτῷ διακομισάμενος.

8. Τὸν ἄγγελον αὖθις ἐντεῦθεν τὰ πράγματα διαδέχεται. Τῶν γὰρ μαθητῶν αὐτοῦ δύο τινας εὐλαβεῖς Δημήτριον καὶ Θεόδωρον πρὸ τῆς ἀπὸ τοῦ δένδρου καθόδου μεταστειλάμενος κοινοῦται τούτοις ἅπαντα, | A356v τόν τε σκοπὸν ἐφ' ᾧ τὸν τοιοῦτον εἵλετο πόνον, τήν τε φανεῖσαν αὐτῷ ἀγγελικὴν ὀπτα-

---

10 δ' om. B   11 φημὶ A   12 ὑπερσχεῖν: σχεῖν B   24 ἀπιστεῖσθαι B   28 δηλῶν τε B καὶ δηλῶν A   29 τοῦτο om. B   31 θαυμάτων B

σίαν καὶ ὅπως ὁ ἄγγελος ἐπέσκηψεν οἰκίσκῳ τὸ λοιπὸν ἑαυτὸν ἐγκαθεῖρξαι· κἀντεῦθεν εἰς τὸ θυμηδέστερον μετενεγκὼν τὴν προτέραν τῶν μαθητῶν ἀθυμίαν ἀφ' ὧν ἑώρων εἰς τελειοτέραν ἐκ τραχυτάτης κατάστασιν τὸν διδάσκαλον μεταγόμενον, εἰς ἔργον ἐκβῆναι τὴν τοῦ οἰκίσκου κατασκευὴν τοὺς μαθητὰς ὁ ὅσιος τὴν ταχίστην κατήπειγεν. Ὡς οὖν εὐτρέπιστο πάντα καθάπερ ἐδέδοκτο, δῆλα καθιστῶσι ταῦτα τῷ τῆς πόλεως ἐπισκόπῳ, Δωρόθεός οὗτος ἦν, ὅσα δηλαδὴ καθεξῆς τῷ ὁσίῳ συμβέβηκεν. Ὁ δὲ καὶ γὰρ ἦν ἔκπαλαι προκατειλημμένος ταῖς περὶ τοῦ ὁσίου φήμαις, ἧς ἐδεῖτο προφάσεως εὐκαίρου λαβόμενος, τοῦ ὑπ' αὐτῷ κλήρου ἐφεπομένου καὶ πλήθους B255 οὐκ ὀλίγου τῆς πόλεως, ἀνέρχεται προθύμως ἔτι τῷ δέν|δρῳ τὸν ὅσιον κατειληφὼς ἐφιζάνοντα καὶ οἷς ἔδει τὸ καθῆκον φιλικὸν κατατίθεσθαι, προσηκόντως ἀλλήλοις ἐντετυχηκότες, ὁ μὲν τὴν ἀρχιερεῦσιν ὀφειλομένην τιμήν, ὁ δὲ τὴν κοινῇ πᾶσι χρεωστουμένην ἀγάπην καὶ τὸν ὑπὲρ τῆς ἀρετῆς ἔπαινον ἀντιδεδωκότες ἀλλήλους ἠγαλλιάσαντο τῷ πνεύματι. Εἶτα ὁ ἀρχιεπίσκοπος καὶ οὗ χάριν μετεστάλθη μαθών, ἅπαντα τὸν συνήθη τελέσας ἐπὶ τοῖς τοιούτοις κανόνα, κατάγει τὸν ὅσιον ἐκ τοῦ δένδρου ὡς ἀπό τινος μυστικῆς ἀκρωρίας καὶ φαιδρὸν καὶ γεγανωμένον καθειργνύει τῷ σύνεγγυς ἑτοιμασθέντι δωματίῳ, καθάπερ θάλαμον τοῦτο ὑπεισδύντα τερπνότατον. A357 Αἰσίως οὖν ἐκτετελεσμένων | τῶν ὅσα τῷ καιρῷ παρειστήκει, ὁ μὲν παραθέμενος ἑαυτὸν ταῖς τοῦ ὁσίου εὐχαῖς, ὁ δὲ δεόντως διὰ τῶν εὐχαριστηρίων εὐχῶν τὸν ἐπίσκοπον προπεμψάμενος, τὸν σύλλογον εὐκαίρως διέλυσαν. Ἐπεὶ δὲ καθ' ἑαυτὸν γέγονε καὶ ὥσπερ ἔμυσε τὰς αἰσθήσεις ἀπὸ τῶν ἔξωθεν, ἔξω σαρκὸς καὶ κόσμου γενόμενος καὶ μηδενὸς ὅτι μὴ πᾶσα ἀνάγκη τῶν ἀνθρωπίνων ἁπτόμενος μόνῳ τῷ θεῷ προσομιλεῖν ἐβιάζετο, τὸ σαρκικὸν τειχίον ταῖς ὅσαι ὧραι σκληραγωγίαις οἷα σκαλεύων τε καὶ διαρB255v ρηγνύς, ὅπως ἂν ἀμέσως | εἰ οἷόν τε τῷ ἀΰλῳ συγγένηται.

9. Πλὴν αὐτῷ μὲν ἐνοικοῦντι τῷ δωματίῳ τὴν θεαρχικήν τε τριάδα διὰ πολλὴν ἁγιότητα ἔνοικον ἔχοντι, δαιμονιῶν τις κάτωθεν ἀναδραμών, ἀθρόον ἐφίσταται, πόρρωθεν τὴν κλῆσιν τοῦ ὁσίου ἐπιβοώμενος καὶ τὴν πυροειδῶς ἐκ τοῦ ἱεροφόρου στύλου ἐκδειματοῦσαν αὐτὸν χάριν, κατακαίειν αὐτὸν διατεινόμενος· ὃν κατοικτηρίσας ὁ ὅσιος ἐπευξάμενός τε αὐτῷ καὶ χειροθετήσας, ἐλευθερώσας τε τῆς τυραννίδος τοῦ δαίμονος σωφρονοῦντα τὸ λοιπὸν ἀπέδειξεν. Ἐν τοσούτῳ δὲ καί τινος γυναίου τοὺς ὀφθαλμοὺς λειμῶντος καὶ μετ' ὀδύνης σφοδρᾶς αὐτῷ προσδεδραμηκότος, οὔτ' ἀποπέμψασθαι τοῦτο τῇ συμπαθείᾳ νικώμενος, οὔτ' ἀκίνδυνον οἰόμενος ἐν τοῖς ὑπὲρ δύνα-

6 ταῦτα om. B 7 δηλαδὴ om. B 9 ἀφ' αὐτὸν B καθεπομένου B 14 ἀντιδεδωκότες: λαβών τε καὶ ἀντιδεδωκὼς B ἀλλήλους - ἀρχιεπίσκοπος om. B 18 τοῦτω B 20 εὐχῶν: ἐπῶν B 22 καθ' ἑαυτόν : οἶκοι B

μιν ἑαυτὸν καθεῖναι, διχόθεν ἐφείλκετο τοῖς λογισμοῖς· μέσος γὰρ ἦν οἴκτου καὶ μετριότητος, τῆς μὲν εἰργούσης τῶν ὑπερτάτων, τοῦ δὲ πείθοντος τῆς συγγενείας ἀντιλαμβάνεσθαι· καὶ δὴ κεράσας ἀμφοῖν τὰ ἄκρα, μετὰ δέους καὶ οἰκτιρμῶν ὑπὲρ τῆς πασχούσης τὸ θεῖον | ἱλεωσάμενος τοῦ A357v τοιοῦδε πάθους τέλεον ἀπηλλαγμένην ἀπέλυσεν. Αὐτὸς δέ, τῶν | κατ᾽ ἀρε- B256 τὴν πόνων εἰς ἄκρον ἐληλακώς, ἤδη τὸ ταύτης μέτρον οὐδαμῶς ἠφίει καὶ ἐνεδίδου, μᾶλλον μὲν οὖν ὡς ἀρχόμενος διετίθετο καθ᾽ ἑκάστην τὸ τοῦ συνωνύμου Δαβὶδ ἔν τισι τῶν ψαλμῶν ἐπίγραμμα δεδιώς τε καὶ προορώμενος, ὅ φησιν οὕτως εἰς τὸ τέλος μὴ διαφθείρῃς, πρὸς ὃ τὸν σκοπὸν ἀπευθύνων παντὸς ὑπὲρ ἀρετῆς πόνου καὶ ταλαιπωρίας ἀνώτερος ἦν. Τοιοῦτος γὰρ ὁ τῶν ἐρώντων ὅρος: πάντα δεύτερα καὶ ἐλάττω τῆς τοῦ ἐρωμένου τιθέναι μεγαλειότητος· ἡδονὴν γὰρ τὴν ὀδύνην καὶ ζωὴν τὸν θάνατον οἱ ἐρῶντες ὑπὲρ τῶν ἐρωμένων λογίζονται. Τοιοῦτος ὁ ὅσιος ἦν κατὰ τῆς ἁμαρτίας καὶ τῶν δαιμόνων πυριπνόως φερόμενος.

10. Οὕτως οὖν καὶ ὡσαύτως πραττομένων τῶν παρ᾽ αὐτοῦ, μικρόν τι διατέμνεται τὴν κατάστασιν ἐκ τοιᾶσδε τῆς ὑποθέσεως. Οἱ τοὺς Ἰλλυρίους ἐπικαίρως διέποντες ὕπαρχοι καὶ τὸ τηνικάδε κατὰ τὴν Θεσσαλονίκην θέμα διευπετοῦντες, οὐδαμῶς ἐν αὐτῇ διατρίβειν συνεχωροῦντο· καὶ γὰρ οὐκ ἐξῆν αὐτοῖς τοῦτο, οὐδὲ ἐπετέτραπτο παρὰ τῶν κρατούντων, ἕτερον δέ τι πολίχνιον ἀνὰ τὰς ἐκβλύσεις ἢ ἀναδόσεις Ἴστρου τοῦ καὶ Δανουβίου προσκείμενον | ἄκρως τε προβεβλημένον τῶν ἄλλων τῆς ἐπαρχίας μερῶν Σίρ- B256v μιον καλούμενον, ἅτε πολλὴν ἔχον ἀπὸ τοῦ ποταμοῦ τὴν ἀσφάλειαν, ὥστ᾽ εὐχερῶς ἀποτειχίζειν τὰς ἀντίπερα τῶν πολεμίων ἐφόδους ἢ μᾶλλον αὐτὸ τὸ συμπαρεκτεινόμενον τῷ ποταμῷ θάτερον μέρος ἀσφαλιζόμενον | τῷ κατὰ A358 κεφαλὴν ἐκτίσθαι τοῦ ποταμοῦ, φρουρεῖν ἠναγκάζοντο τῆς λοιπῆς ἁπάσης ἐπαρχίας φρούριον ὡς ὑπάρχον ἐξαίρετον. Ἐν τούτῳ τῷ Σιρμίῳ πολλὴν ὑφιστάμενος βίαν ὁ κατ᾽ ἐκεῖνο καιροῦ τὴν ἐπαρχίαν ἐγκεχειρισμένος παρὰ τῶν τηνικάδε ἐπιδραμόντων βορείων ἐθνῶν καὶ οὐχ οἷός τε ὢν πρὸς τὰς ἐπιφορὰς ἀντέχειν τῶν πολεμίων, ἀλλ᾽ αὐτὸν ὡς εἰπεῖν ἑκάστοτε τὸν θάνατον προορώμενος, γράφει μὲν τὰς συμφορὰς πρὸς τὸν εὐσεβέστατον Ἰουστινιανόν, αἰνιξάμενός πως ἀμυδρῶς καὶ τὴν ἐκ Σιρμίου αὐτοῦ πρὸς Θεσσαλονίκην μετάβασιν ἢ μετοίκησιν, οὐ μὴν ἀμέσως γε τοῦτο δέδρακεν, ἀλλὰ διὰ πρέσβεών τινων αὐτά τε τὰ πρὸς τὸν βασιλέα γράμματα ἐπικομιζομένων, ἕτερά τε πρὸς τὸν Θεσσαλονίκης ἀρχιεπίσκοπον, πολλὴν ἀμφοτέρωθεν τὴν ἱκετηρίαν τῷ εἰρημένῳ προ|έδρῳ προσήνεγκεν, ὥστε πολυτρόπως ἢ δι᾽ ἑαυτοῦ B257 ἢ διά τινος ἑτέρου σπεῦσαι πεῖσαι τὸν βασιλέα, τὸν ὕπαρχον ἐκ Σιρμίου πρὸς τὴν τῶν Θεσσαλονικέων μεταγαγεῖν.

---

6 ὡς εἰς ἄκρον B 21 Σέρμειον B 26 Σερμείῳ B 31 et 36 Σερμείου B

11. Ὁ γοῦν ἐπίσκοπος, Ἀριστείδης ἦν οὗτος, καὶ ἄλλως ἀσύμφορον εἰδὼς τῆς ἰδίας πόλεως ἑαυτὸν ἀποστερῆσαι καὶ μάλιστα τῶν πολεμίων ἐπὶ πάσης διασκιδναμένων τῆς ἐπαρχίας, βουλῆς γίνεται τῷ ὁσίῳ χρήσασθαι πρὸς τὴν τοῦ τοιούτου περαίωσιν ἐξαιτήματος· ὅθεν συμπαραλαβὼν μεθ' ἑαυτοῦ τούς τε πρέσβεις καὶ τὰ τοῦ ὑπάρχου γράμματα παραγίνεται παμπληθεῖ πρὸς τὸ τοῦ ὁσίου δωμάτιον, προσειπών τε αὐτὸν ὡς ἔθος καὶ ὑπαναγνοὺς αὐτῷ τὴν τοῦ ὑπάρχου | [A358v] ἐπιστολὴν καὶ ἐπὶ πολὺ λιταζόμενος αὐτόν, ἅμα τοῖς πρέσβεσι καὶ τοῖς συναναβᾶσι, μόλις μέν, ἀλλ' οὖν ἔπεισαν ἤξαντα τῇ αὐτῶν βουλήσει, ἀναδραμεῖν πρὸς τὴν βασιλεύουσαν· ἐμνήσθη γὰρ ὡς ἦν ἄρα καὶ τοῦτο προδεδηλωμένον αὐτῷ ὑπὸ τοῦ ἀγγέλου. Συνθέμενον τοίνυν καὶ καταθέμενον οἷς ἐξητήσαντο, τοῦ πολυόλβου ἐκείνου ἐξάγουσι δωματίου, τὴν μὲν κόμην ὁλόλευκον ἄχρις ὀσφύος ἐπώμιον ἔχοντα, τὸν δὲ πώγωνα ποδήρει προσεοικότα καὶ ἐκ μόνης τῆς ἐπιφανείας τοῦ σώματος ἱκανὸν ὄντα | [B257v] καταιδέσαι καὶ βασιλέα. Ἀλλὰ ταῦτα μὲν μικρὸν ὕστερον.

12. Εὐθέως οὖν ἀναλαβόμενος τά τε τοῦ ὑπάρχου, τά τε τοῦ ἐπισκόπου γράμματα καὶ συνταξάμενος ὡς δέον αὐτοῖς ἅμα τοῖς δυσὶ μαθηταῖς αὐτοῦ πλοίῳ προσεπιβὰς ἑτοίμως ἐκπλέοντι πρὸς τὴν βασιλεύουσαν ᾤχετο τοιάδε τῷ καιρῷ τῆς ἐκπλοίας πρὸς τοὺς προπεμπτῆρας ἀποφθεγξάμενος. Ὡς ὑμεῖς μέν, ὦ τέκνα, τῶν δι' ἐμοῦ πρεσβευθησομένων τὴν ἔκβασιν ἀπολήψεσθε, τὸν Δαβὶδ δὲ μεθ' ὑμῶν ἔτι συλλαλοῦντα οὐδαμῶς κατόψεσθε. Τὸ γὰρ ἐμὸν θεασάμενος ὑποστρέφων δωμάτιον πόρρωθεν νεκρὸς ὑμῖν ὀφθήσομαι τῷ κοινῷ νόμῳ λειτουργήσας τῆς φύσεως.

13. Ἐν ὀλίγῳ τοιγαροῦν τὸ Βυζάντιον φθάνει. Καὶ πρὶν ἢ προϊέναι τοῦ πλοίου, ταῖς πάντων ἀκοαῖς ἡ περὶ αὐτοῦ φήμη διέτρεχεν ἕως τῶν βασιλείων αὐτῶν. Ζητεῖται οὖν παρὰ τῆς βασιλίδος αὐτῆς. Ἀνάγεται πρὸς αὐτὴν μετὰ πάσης αἰδοῦς τε καὶ εὐλαβείας· ἀπονέμει ταύτῃ τὴν βασίλειον ὡς θέμις τιμήν·/ [A359] αὖθις ἐκείνη τὸν τῆς βασιλείας τύφον ἀποσκευασαμένη, τῶν ἰχνῶν τοῦ ὁσίου προκυλινδοῦται· ὁ δὲ ταῖς εὐχαῖς ὁμοῦ ταύτην καὶ εὐφημίαις ἀντήμειβε. | [B258] Καὶ ἐπεὶ ἔτυχε τότε τὸν βασιλέα οὐ μακράν που τῆς πόλεως διατρίβειν, τῶν πολλῶν φροντίδων βραχύ τι ἑαυτὸν ἀνιέντα, ἀναπαύεται παρ' αὐτῆς ἐν τοῖς βασιλείοις ἄχρι τῆς αὐτοῦ εἰσελεύσεως. Ἐπανήκοντος δὲ ὅμως τοῦ βασιλέως, ἆρα πῶς ἦν εἰκὸς ἐμφανισθῆναι αὐτῷ τὸν ὅσιον καί τινων ἢ ποίων τῶν δώρων ὡς προσῆκον βασιλεῖ τὴν προσένεξιν αὐτῷ ποιήσασθαι; ἆρα χρυσὸν προσάξοντα; καὶ μὴν πλὴν ὧν ἠμφίεστο, οὐδὲν ἐκέκτητο.

---

2 σαυτὸν B 7 ἐπάρχου B 22 θεασάμενος : ὀψόμενος B 23 λειτουργήσων B
30 τετύχηκε B διατρίβειν om. B 31 ἀνιέναι διαναπαύεται B 33 ἐπανήξοντος B
34 ὡς βασιλεῖ δέον B 35 ποιησόμενον B ἆρα : ἀλλὰ B ἠφίετο B

ἀλλὰ σμύρναν; ἀλλ' ἀπόβλητος ἂν ἐγεγόνει, νεκρώσεως σύμβολα προσφέρων τῷ βασιλεῖ· ἀλλὰ λιβανωτὸν εἴποι τις ἂν εὖ φρονῶν; ὡς εὖ γε ταῦτα τῷ ὁσίῳ διανοούμενος· εἰδὼς γὰρ κατά τινα θεηγόρον ὅτι τὰ μὲν ἄνω, μόνου θεοῦ, τὰ δὲ κάτω καὶ βασιλέων, εἰ καὶ τολμηρὸς πως ὁ λόγος, οἷα θεῷ τῷ ἐπὶ γῆς ὁ ὅσιος θυμιάσαι διενοήθη. Καὶ δὴ ἐν τῷ ἐπανελθεῖν τοῖς βασιλείοις τὸν βασιλέα καὶ εἰς τὴν αὔριον τὴν ὡρισμένην προέλευσιν ποιησάμενον ἐπὶ τῆς παρούσης συγκλήτου, καὶ γὰρ ἦν παρὰ τῆς βασιλίδος τὰ περὶ τοῦ ὁσίου μαθών, ἐπιτρέψαι τοῖς παρεστῶσιν εἰσελθεῖν τὸν ὅσιον ἐπὶ πάντων ὡς ἂν κοινῇ τῶν εὐχῶν αὐτοῦ τεύξοιντο καὶ τὰς | παρ' αὐτοῦ ἀγγελίας ἐκδέξοιντο. B258v Σχεδιάσας οὖν ἄνθρακας ἐπὶ τῆς ἑαυτοῦ δεξιᾶς καὶ ἐπιθεὶς θυμίαμα προσῄει πρότερον τὸν βασιλέα θυμιῶν, εἶθ' οὕτως ἐφεξῆς τοὺς ἐν τέλει.

14. Οἱ δὲ τῷ θαύματι μᾶλλον προσενείραντες ἑαυτοὺς ἢ τῷ θυμιάματι, A359v οὐκ εἶχον πότερον τῶν φαινομένων ἢ γινομένων κατανοῆσαι· ξένον μὲν γὰρ εἶδος καὶ παρηλλαγμένον ἑώρων, ἀβραμιαίαν ἐκφαῖνον τὴν ἐπιφάνειαν. Πρὸς δὲ καὶ τῶν ἐν Ἀσυρίᾳ νεανιῶν τὸ θαῦμα νεοπολούμενον ἐν γηραιᾷ κατενόουν παλάμῃ στοιχεῖον τὸ πάντων ἐξαναλωτικόν, τὸ μὲν ἐπιτεθὲν ὑποφλέγον θυμίαμα, τῆς δὲ ὁσίας χειρὸς ἐκείνης οὐδὲ πρὸς τὸ τυχὸν ἐφαπτόμενον. Φύσις ἦν ἀμίαντος ὄντως ἡ τοῦ ὁσίου πανάγιος σάρξ, ἢ πλέον ὑπερστίλβει προσομιλοῦσα πυρὶ μηδεμίαν οἱανοῦν μείωσιν ὑπὸ τοῦ πυρὸς δεχομένη. Πόσην αὐτὸν ἢ πῶς ᾠήθησαν ἂν οἱ τηνικαῦτα θεώμενοι τὴν ἐντὸς χάριν ὑπερβλυστάνειν, ὁπηνίκα τὸ τῆς ψυχῆς μαργαρῶδες τοσαύτης τῷ ὡραίῳ τοῦ σώματος τῆς αὐγῆς μετεδίδου; πῶς δὲ καὶ οὐκ ἥσθησαν ἄν; οὐδὲ γὰρ εἰ μὴ λιθίνην εἶχον διάθεσιν, τοσούτου ποτ' ἂν ἠλόγησαν θαύματος, ὁπόταν τὸ ἀνθηρὸν καὶ εὐῶδες τοῦ | πνεύματος οἷάπερ ῥόδον τὴν αἰχμηρὰν B259 καὶ γεώδη τοῦ ἐλύτρου κάλυκα τοσοῦτον τῷ θαύματι κατεκάλλυνε. Τοῦτο μόνον καὶ ἄτερ τῶν ἄλλων τὸν βασιλέα κατήδεσε καὶ πᾶσαν αἴτησιν τοῦ ὁσίου ἐκπληρῶσαι τὸ τάχος ἐποίησεν. Ἐντεῦθεν τὰ τῆς τοῦ ὑπάρχου δεήσεως πέρας ἔσχε χρηστόν. Ἐντεῦθεν ἐκ τοῦ Σιρμίου πρὸς τὴν Θεσσαλονικέων ἡ μετάστασις τῆς ἡγεμονίας ἐγένετο. Τὰ δὲ ἑξῆς, ὅσην ἔδει φιλοφροσύνην ὁ βασιλεὺς πρὸς τὸν ὅσιον ἐνδειξάμενος, ἀποστολικῶς τε καὶ προφητικῶς | αὐτὸν θαυμασάμενος καὶ ἑαυτὸν ταῖς εὐχαῖς αὐτοῦ παραθέμενος A560 ἐκπέμπει μετὰ τῆς αὐτῷ προσηκούσης τιμῆς ἅπασαν αὐτῷ λύσιν τῶν αἰτημάτων ἐπιβραβευσάμενος.

15. Ἀπάρας τοίνυν ἐκεῖθεν ὁ ὅσιος μετὰ τῶν συνόντων αὐτῷ δύο μαθητῶν εὐθὺς καταπλεῖ πρὸς τοὺς ἀποστείλαντας καὶ ἐν τοσούτῳ διηνυκὼς παρ' ὀλίγον τὸν πλοῦν, ἅμα τῷ τὴν πόλιν καὶ τὸ ἑαυτοῦ ἀναφανῆναι δωμάτιον, αὐτίκα τὴν προφητείαν ἀνεπλήρου καὶ μικρά τινα τοῖς οἰκείοις ἐπισκηψά-

---

4 τῶν B   20 τηνικάδε B   22 μετεδίδουν AB   24 ῥώδων B   28 Σερμείου B

μενος μαθηταῖς, τὸν δικαίοις πρέποντα ὕπνον ὑπνωσέ τε καὶ ἀνεπαύσατο· A259v Ὅτε δὴ καὶ τῆς θαλάσσης κυμαινομένης αἰφνίδιον τῇ κοιμήσει αὐτοῦ | κατεστορέσθη τὰ κύματα, φωναί τε ψαλλόντων ἀοράτως ἠκούοντο καὶ πλῆθος εὐωδίας τὸν ἀέρα περιεκέχυτο καὶ πᾶσι τοῖς παροῦσιν εἰκάζετο τῶν οὐρανίων ἀφικέσθαί τινας συμπαραληψομένους τοῦ σαρκικοῦ νέφους ἐκδημοῦντα τὸν ὅσιον. Προσορμισθέντος οὖν τοῦ πλοίου μετ' οὐ πολὺ καὶ μαθόντων πάντων τὴν ἀποβίωσιν τοῦ ὁσίου, ὅπως τε τὰς αἰτήσεις αὐτῶν εἰς ἔργον ἐξήνεγκεν, ἀγασάμενοι αὐτὸν καὶ τῶν ἄλλων ἕνεκεν, πολλῷ δὲ μᾶλλον τῆς προφητείας, ἅμα τῷ ἐπισκόπῳ τὸ τίμιον αὐτοῦ ψαλμοῖς καὶ ὕμνοις προπεμψάμενοι λείψανον, ἕως τῆς ἐν ᾗ διεβίω μονῆς κατατίθενται αὐτό, θησαυρὸν οἷα παντοδαπῶν χαρισμάτων ἐτησίως τὸ μνημόσυνον αὐτοῦ τοῖς ἑξῆς τελεῖσθαι παραδεδωκότες κατὰ τὴν εἰκάδα ἕκτην τοῦ Ἰουνίου μηνός.

A360v 16. Ταῦτα δὲ ἡμεῖς διεξήλθομεν οὐ πάνυ τι | χαριούμενοι τῷ ὁσίῳ, πατρικὴν δὲ μᾶλλον καὶ δεσποτικὴν ἐπιταγὴν ἐκπληροῦντες καὶ πολλὴν ἐντεῦθεν τὴν οἰκοδομὴν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ προμηθούμενοι. Ἐπεὶ τό γε πρὸς ἐκεῖνον καὶ κατ' ἐκεῖνον καλὸν ἅπαν ἐστὶν ἀπηρτισμένον αὐτῷ, παρά τε τῆς B260 οἰκείας προαιρέσεως καὶ τῆς θείας | ἀνταποδόσεως. Οὐ γὰρ τοῖς ἔξωθεν ἐγκωμίων νόμοις ὑπείκοντες περιφάνειαν αὐτῷ γένους ἢ πατρίδος ἢ ἀγόνων χοῶν εὐσέβειαν ἢ τάφων μεγαλοπρέπειαν ἀσυνέτως ἐπευφημήσαμεν, ἃ τοῖς νεκροῖς οἱ νεκροὶ χαρίζονται, μηδὲν πλέον τῶν φαινομένων φαντασθῆναι δυνάμενοι, μόνον δὲ τὸ τῆς ἀγαθῆς συνειδήσεως ἀδούλωτον αὐτοῦ καὶ ἐλευθέριον παρεδείξαμεν καὶ ὡς ἐκεῖνος ἀκριβὴς μιμητὴς τῶν πρὸ αὐτοῦ πάντων τῆς θαυμασίας ἀρετῆς ζωγράφων καὶ ζωγράφος ἄριστος ἢ μᾶλλον εἰπεῖν ἀρχέτυπον ἀγαθὸν ἐχρημάτισεν, ἡμεῖς δὲ πολλῶν δέομεν τοῦ πρὸς ἐκεῖνον ἀφορᾶν μόνον. Πολὺ γὰρ καὶ τοῦτο φάναι, μὴ ὅτι γε πάσῃ δυνάμει σπεύδειν ἐκμιμεῖσθαι τὴν ἐκείνου ἀκρίβειαν.

17. Ἀλλ' ὦ πάτερ καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς ἐπόπτα, κρεῖσσον ἢ καθ' ἡμᾶς ἐνδιαιτώμενος τῷ πνεύματι νῦν καὶ μέρος γενόμενος τοῦ κατὰ Χριστὸν τῶν σωζομένων σώματος καὶ πληρώματος καὶ διὰ τῶν ἀνωτάτω καὶ καθεξῆς, τῇ θείᾳ κεφαλῇ, ἤτοι τῷ θεανδρικῷ σώματι συναρμολογούμενος, δέχοιο τουτονὶ τὸν βραχύτατον ἔπαινον, μὴ τοσοῦτον τῆς ἀξίας ἡμᾶς, πολλοῦ γὰρ B260v ἐνδεῖ, καὶ ἀποδεχόμενος καὶ | ἀνταμειβόμενος, ὅσον τῆς προθυμίας οὐδὲν προσδεῖ, οὐ γὰρ ὁ τὸ πᾶν ἐλλείπων ὡς μὴ δυνηθεὶς τὰ μείζω, ἀλλ' ὁ τὸ κατὰ δύναμιν εἰσενεγκὼν τῷ θεῷ καὶ τοῖς ἀνθρώποις εὐγνωμονεστέροις ἀποδεκτέος, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

1 καὶ τὸν δικαίοις B ὑπνώσας τε καὶ ἀναπαυσάμενος B 5 τινας ὡς B 10 αὐτῷ B 11 ἐτησίως αὐτοῦ τὸ μνημόσυνον τελεῖσθαι τοῖς ἑξῆς B 18 ἀγώνων B 19 ἐπεφημήσαμεν B 37 ἀτελευτήτους om. A



*Κῶδιξ μονῆς Διονυσίου 52 f. 257*



*Κῶδιξ μονῆς Διονυσίου 145 f. 354v*

ΥΠΟΜΝΗΜΑ

Βασικῶς ὁ συγγραφεὺς τοῦ ἐνταῦθα ἐκδιδομένου ἐγκωμίου ἀκολουθεῖ τὸν εἰς διάφορα ἄλλα χειρόγραφα διασωθέντα καὶ γνωστὸν ἡμῖν ἐκ τῆς ἐκδόσεως τοῦ Rose βίον, προφανῶς ὅμως ἔχει ὑπ' ὄψιν του καὶ ἄλλην μὴ διασωθεῖσαν ἢ μὴ ἀνευρεθεῖσαν εἰσέτι πηγήν, ὡς ἐμφαίνεται πρῶτον ἐκ τῆς λεπτομερείας περὶ τῆς θέσεως τῆς ἀμυγδαλῆς ἐπὶ τῆς ὁποίας παρέμεινεν ἐπὶ τριετίαν ὁ ὅσιος. Εἰς τὸν ὑπὸ τοῦ Rose ἐκδοθέντα βίον (σελ. 5) ἀναφέρεται ὅτι ὁ Δαβίδ: «ἐκαθέσθη ἐπὶ τῷ δένδρῳ, ὃ ἦν ἐγγύθεν κατὰ τὸ δεξιὸν μέρος τῆς ἐκκλησίας ἱστάμενον», ἐνῶ εἰς τὸ ἐνταῦθα ἐκδιδόμενον ἐγκώμιον (§ 6) δηλοῦται ἀκριβέστερον: «ἐν τῇ κατ' αὐτὸν οὖν εὐαγεστάτῃ μονῇ τῶν ρηθέντων ἀθλοφόρων Μερκουρίου καὶ Θεοδώρου δύο κατὰ διέχειαν ἑκατέρωθεν ἀμφοτέροις εὐκτήρια ᾠκοδόμητο· μεταξὺ δῆτα τούτων δένδρον ἵστατο». 'Εξ ἄλλου εἰς τὸ ἐνταῦθα ἐκδιδόμενον κείμενον (§ 5) ἀναφέρεται ὅτι ὁ Δαβὶδ ἐγένετο ἡγούμενος τῆς μονῆς τῶν Μερκουρίου καὶ Θεοδώρου: «τοῦ κατ' αὐτὸν οὖν κοινοβίου τοῦ καθηγουμένου τοῦ βίου μεταλλάξαντος καὶ πρὸς τὴν ἀγείρω μεταθεμένου ζωήν, βιάζεται τὴν τῶν ἀδελφῶν ἐπιστασίαν ὁ ὅσιος, καίτοι γε μὴ βουλόμενος, ἀναδέξασθαι». Εἰς τὸν μέχρι τοῦδε γνωστὸν βίον (σελ. 6) ἀναφέρονται καὶ «μαθηταὶ» καὶ «ποίμνιον» τοῦ Δαβίδ, ἀλλὰ δὲν γίνεται λόγος περὶ ἐκλογῆς του ὡς ἡγουμένου. 'Ετέρα διαφορὰ εἶναι ὅτι εἰς μὲν τὸν ἤδη γνωστὸν βίον (σελ. 7) ἀναφέρεται ἀορίστως ὅτι κατὰ τὴν μετὰ παρέλευσιν τῆς τριετίας ἐμφάνισιν τοῦ ἀγγέλου ὁ Δαβίδ: «προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ διηγήσατο αὐτοῖς τὰ τῆς ὀπτασίας», ἐνῶ εἰς τὸ ἐνταῦθα ἐκδιδόμενον ἐγκώμιον (§ 8) οἱ μαθηταὶ ἀναφέρονται ὀνομαστί: «τῶν γὰρ μαθητῶν αὐτοῦ δύο τινὰς εὐλαβεῖς Δημήτριον καὶ Θεόδωρον πρὸ τῆς ἀπὸ τοῦ δένδρου καθόδου μεταστειλάμενος κοινοῦται τούτοις ἅπαντα». Διαφορὰ ἐπίσης ὑπάρχει καὶ εἰς τὴν μνείαν τῶν προσπαθειῶν τοῦ διοικητοῦ τοῦ 'Ιλλυρικοῦ νὰ παρουσιάσῃ τὸ πρόβλημά του. Εἰς μὲν τὸ ἐγκώμιον (§ 10) ἀναφέρεται ὅτι οὗτος ἀπετάθη καὶ πρὸς τὸν 'Ιουστινιανὸν: «γράφει μὲν τὰς συμφορὰς πρὸς τὸν εὐσεβέστατον 'Ιουστινιανόν», ἐνῶ εἰς τὸν βίον (σελ. 9) λέγεται ὅτι στέλλει τριβούνους... «πρὸς τὸν ἁγιώτατον ἀρχιεπίσκοπον, ὅπως ἀναγάγῃ τῷ εὐσεβεστάτῳ βασιλεῖ 'Ιουστινιανῷ τὰ περὶ τῶν ἀθώων βαρβάρων». Αἱ διαφοραὶ αὐταὶ ἐπὶ κοινῶν θεμάτων καὶ ὄχι αἱ παραλείψεις εἰς τὸ ἐγκώμιον ὡρισμένων στοιχείων περιεχομένων εἰς τὸν βίον, καθιστοῦν, νομίζω, προφανῆ τὴν ὑπὸ τοῦ ἐγκωμιαστοῦ χρῆσιν καὶ ἄλλης, πλὴν τοῦ βίου, πηγῆς, μὴ ὑπαρχούσης πλέον ἢ τοὐλάχιστον μὴ ἀνευρεθείσης εἰσέτι. 'Απὸ τὴν ἄποψιν αὐτὴν τὸ νῦν ἐκδιδόμενον ἐγκώμιον ἀποτελεῖ χρήσιμον προσθήκην εἰς τὴν παράδοσιν περὶ τοῦ ὁσίου Δαβίδ.

ΒΑΣ. ΛΑΟΥΡΔΑΣ

## RÉSUMÉ

Basile Laourdas, Une louange inedite de Saint David.

C'est pour la première fois qu'il est publié une louange de Saint David de Thessaloniqne d'après deux manuscrits du monastère Dionyssiou du Mont-Athos.

L'auteur inconnu de la louange avait probablement en vue une biographie du Saint différente de celle que nous connaissions jusqu'à maintenant et publiée par V. Rose.